# ΠΑΙΑΝΙΟΥ

## ΜΕΤΑΦΡΑΣΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΥΤΡΟΠΙΟΥ ΡΩΜΑΪΚΗΝ ΙΣΤΟΡΙΑΝ

---

## ΒΙΒΛΙΟΝ Α΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Γ. Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

1. Τῆς ῥωμαϊκῆς βασιλείας ἐν προοιμίοις οὐδὲν ἐγένετο μεῖόν τε καὶ ταπεινότερον. Τῇ δὲ κατὰ μικρὸν αὐξήσει καὶ ταῖς ἀεὶ προςθήκαις κατὰ τὴν οἰκουμένην ἅπασαν οὐδὲν ἔτι μεῖζον οὔτε δυνατώτερον ἡ μνήμη τῶν ἀνθρώπων φέρει. Ταύτης δὲ τὴν πρώτην κρηπῖδα κατεβάλετο Ῥωμύλος· ὃς ἐκ Ῥέας Σιλβίας, οὕτω καλουμένης Ἑστιακῆς παρθένου, τῷ Ἄρεϊ συνελθούσης, ὡς ὁ πολὺς κατεῖχε λόγος, ἐκ διδύμου γονῆς σὺν ἀδελφῷ Ῥέμῳ προῆλθεν εἰς φῶς. Οὗτος ὀκτωκαίδεκα γεγονὼς ἔτη βίον τε ἔχων τοῖς ποιμαίνουσι συλλῃστεύειν ἐλάχιστόν τι πολίχνιον ἐπὶ τοῦ ὄρους τοῦ Παλλαντίου κατεστήσατο πρώτῃ τοῦ Μαΐου μηνὸς ἔτει τρίτῳ τῆς ἕκτης Ὀλυμπιάδος, τῆς δὲ Ἰλίου καταστροφῆς κατὰ τοὺς τὸ πλεῖστόν τε καὶ ἐλάχιστον παραδεδωκότας ἔτει τετάρτῳ καὶ ἐνενηκοστῷ καὶ τριακοσιοστῷ.

2. Οἰκίσας δὲ τὴν πόλιν καὶ καλέσας αὐτὴν ἐξ ἑαυτοῦ Ῥώμην, πρῶτον μὲν πολὺ πλῆθος ἐκ τῶν περιοίκων εἰςεδέξατο, ἔπειτα δὲ τοὺς προβεβηκότας εἰς ἡλικίαν ἐκλεξάμενος, τούτους ἐπέστησε τοῖς λοιποῖς ἡγεμόνας τῶν πρακτέων, σενάτωρας αὐτοὺς καλέσας κατὰ τὴν

Ἐπιγραφή· *Παιανίου — ἱστορίαν* ΑΜΣ : *Παιανίου μετάφρασις τῆς Εὐτροπίου ῥωμαϊκῆς ἱστορίας. Ἑρμηνεία τῆς ῥωμαϊκῆς ἱστορίας ἣν ἔγραψεν Εὐτρόπιος, ἡ δὲ φράσις Παιανίου* Ι  1. *οὐδὲν* Π : *μὲν οὐδὲν* Α  *μεῖόν* ἔγραψα : *μεῖον* Π  *τε* ΜΔ : *τὲ* ΑΙΣ  2. *ταπεινότερον* Π : *ταπεινότερον* ἐκ τοῦ *ταπεινώτερον* Α  *ταῖς . . . προςθήκαις* Π : *τὰς . . . προςθήκας* Ι  4. *δὲ* ΑΜΔ : λείπει ΙΣ  *κρηπῖδα* ΜΣ : *κρηπίδα* ΑΙΔ  4. *κατεβάλετο* ΣΔ : *κατεβάλλετο* ΑΜΙ  5. *ῥωμύλος* ΣΔ : *ῥωμύλλος* ΑΜΙ  8. *ποιμαίνουσι* ΑΙ : *ποιμέσι* ΜΔ : pro *ποιμαίνουσι* vetus liber aliam quoque scripturam habet, *ποιμέσι* Σ  *ἐλάχιστον* Π : *ἐλάχιστον* Μ  9. *Παλλαντίου* Π. Γραπτέον *Παλατίνου*  10. *ἕκτης ὀλυμπιάδος* ΙΣΔ : *ὀλυπ/μ ζ̄* ἐν τῇ φφ ΑΜ  11. *πλεῖστόν τε* Δ : *πλεῖστον τὲ* Π  12. *ἐνενηκοστῷ* ΑΜΙ : *ἐννενηκοστῷ* ΣΔ  *τριακοσιοστῷ* ΜΙΔ : *τριακοσιοστῷ* (*σιο* suprascr.) Α  13. Ἐν τῇ φφ· ἀπὸ τρωικοῦ πολέμου ἔτη ἐγγὺς ῡ μέχρι συνοικήσεως (*συναικήσεως* Μ) ῥώμης (*ῥώμης* ΜΣ) ΑΜΣ  *ἑαυτοῦ* ΑΙΜ : *αὐτοῦ* ΣΔ  16. *σενάτωρας* ΣΔ : *σενάτορας* ΑΜΙ

Ε.Υ.Α.Π.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν Ἰταλῶν φωνήν, ἐπειδὴ σένης ἐκεῖνοι καλοῦσι τοὺς γέροντας· σύγκλητον δὲ Ἕλληνες ἐκάλεσαν τὸ συνέδριον ἐκ τοῦ πρότερον μὲν τοὺς βασιλεύοντας, μετὰ δὲ ταῦτα τοὺς ὑπάτους συγκαλεῖν τε αὐτοὺς ἐπὶ τὰς βουλὰς καὶ τῶν ψήφων ποιεῖσθαι κυρίους. Ἀλλ᾽ ἐπειδὴ τὸ πλῆθος, αὐξηθὲν ἤδη, συνοίκων ἐστέρητο γυναικῶν, καὶ φόβος ἦν ἐπιλιπεῖν τοὺς ἄνδρας, τέχνη δέδωκε διαδοχὴν τῷ γένει. Παρακαλέσας γὰρ ὡς ἐπί τινα θέαν τὰ γειτνιῶντα τῶν ἐθνῶν, ἁρπαγὴν γενέσθαι παρεσκεύασε τῶν παρθένων· ἃς οἱ προκληθέντες ἐπὶ τὴν τέρψιν ἐπηγάγοντο. Καὶ τὰς μὲν ἔσχον γαμετὰς ἁρπάσαντες· πόλεμον δὲ τὸ ἔργον ἐκίνησεν. Οὗ συστάντος, ἡττῶνται Καινιναῖοι καὶ Ἀντεμνᾶται, Κρουστουμῖνοι, Σαβῖνοι, Φιδηνᾶται, Βέειοι. Συνοικίαι δὲ ἦσαν αὗται, καὶ κατ᾽ οἰκίαν ἀρχὴν ἑκάστη, καὶ μετὰ ταῦτα ἐπολίσθησαν, καὶ ταύταις ἔτι καὶ νῦν ἡ Ῥώμη ταῖς πόλεσι περιεστεφάνωται. Τούτων δ᾽ οὕτω πραχθέντων, χειμὼν ἐξαίφνης ἐπελθὼν ἀφανῆ τὸν Ῥωμύλον ἐποίησεν· ἐξ ἐκείνου δὲ εἰς τόδε πεπίστευται πρὸς θεοὺς ἀνειλῆφθαι. Καθιερώθη οὖν παρὰ τῶν ἀρχομένων ἔτη βασιλεύσας αὐτῶν ἑπτὰ καὶ τριάκοντα. Καὶ τέως μὲν τὴν πόλιν διεῖπον καὶ τὴν βασιλείαν ἐπετρόπευον οἱ καλούμενοι σενάτωρες ἐπὶ ἐνιαυτὸν ὅλον ἐξ ἀμοιβῆς, δι᾽ ἡμερῶν πέντε τῆς ἐπιτροπείας ἀντ᾽ ἄλλων εἰς ἄλλους μεθισταμένης.

3. Μετὰ δὲ τὸν ἐνιαυτὸν Νουμᾶς Πομπίλιος ἀνερρήθη βασιλεύς. Οὗτος πολέμου μὲν ἀπέσχετο παντός, τῇ Ῥώμῃ δὲ οὐχ ἧττον ἢ Ῥωμύλος ἐγένετο χρήσιμος. Νόμους τε γὰρ αὐτοῖς ἔθηκεν ἔθη τε παρέδωκεν, ἀφ᾽ ὧν λῃσταί τινες πρότερον ὑπειλημμένοι καὶ μιξοβάρβαροι ἀμεινόνων ἀνδρῶν δόξαν ἐκτήσαντο, ἱερά τε αὐτοῖς ἐτέλεσε ναούς τε κατεσκεύασεν. Οὕτω δὲ διαθεὶς τὴν πόλιν, τεσσαρακοστῷ καὶ τρίτῳ τῆς βασιλείας ἔτει νοσήσας ἐτελεύτησεν.

4. Τρίτος διαδέχεται τὴν βασιλείαν Τοῦλλος Ὁστίλλιος. Ὑπὸ τού-

7. τὰ Π: λείπει Σ *ἁρπαγὴν* Π : *ἀρπαγὴν* Ι 10. *καινιναῖοι* Π : *καὶ ιναῖοι* Μ *Ἀντεμνᾶται ἔγραψα* : *ἀντεμνάται* Π 11. *Φιδηνᾶται ἔγραψα* : *φιδηνάται ἐκ τοῦ φιδηνᾶται* Μ : *φιδηνάται* Π 12. *ἀρχὴν* Π : *ἀρχὴ* Λ 13. *τούτων δ᾽* ΛΔ : *τούτων* ΜΙΣ 14. *ῥωμύλον* ΣΔ : *ῥωμύλλον* ΛΜΙ 15. *πεπίστευται* Π : *πιπίστευται* Δ 18. *σενάτορες* ΣΔ : *σενάτορες* ΛΜΙ *δι᾽ ἡμερῶν* Π : *δι ἡμερῶν* Μ 20. *Ἐν τῇ ᾤᾳ* $\overline{β}$ ΛΜ *Πομπίλιος* ΙΣΔ : *πομπήλιος* ΛΜ *ἀνερρήθη ἔγραψα* : *ἀνερρέθη* Π : *ἀνερέθη* Μ 21. *Ῥωμύλος* ΣΔ : *ῥωμύλλος* ΛΜΙ 23. *λῃσταί τινες* ΜΣΔ : *λῃσταὶ τινὲς* Λ 24. *ἱερά τε ἔγραψα* : *ἱερά τε* ΛΜΙ : *ἱερὰ δὲ* ΣΔ 27. *ἐν τῇ ᾤᾳ* $\overline{Γ}$ ΛΜ *ὀστίλλιος* ΣΔ : *ὁστίλλιος* ΛΜ

Ε. ΘΣ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῳ πάλιν ἡ περὶ τοὺς πολέμους ἐπανῆλθε σπουδή. Νικῶνται γοῦν Ἀλβανοὶ μάχῃ, τῆς Ῥώμης δυοκαίδεκα διεστῶτες σημείοις· μίλια καλοῦσιν αὐτὰ Ῥωμαῖοι· τὰ χίλια γὰρ βήματα οὕτως ὀνομάζουσι, τοσούτοις βήμασι συμμετρούμενοι τὸ σημεῖον. Εἶτ' ἐφεξῆς ἡττῶνται Βέιοι καὶ οἱ ἀπὸ Φιδήνης, οἱ μὲν ἓξ χωριζόμενοι σημείοις, οἱ δὲ ὀκτωκαίδεκα. Μετὰ ταύτας δὲ τὰς νίκας καὶ τὴν πόλιν ηὔξησε, τὸν Κέλλιον αὐτῇ προσθεὶς λόφον. Ἐπὶ τούτοις τοῖς ἔργοις τριάκοντα καὶ δύο τὴν ἀρχὴν κατασχὼν ἐνιαυτούς, κεραυνοῦ πεσόντος συγκατεφλέχθη τῇ βασιλικῇ στέγῃ.

5. Τέταρτος παρῆλθεν ἐπὶ τὴν ἀρχὴν Ἄγκος Μάρκιος, ἔκγονος ἀπὸ θυγατρὸς τοῦ Νουμᾶ Πομπιλίου. Οὗτος ἤρατο πόλεμον πρὸς Λατίνους, καὶ τῇ πόλει συνῆψε τὸν Ἀβάντινον λόφον Ἰανίκουλόν τε, καὶ πολίχνην ἐδείματο ἐπὶ θαλάσσῃ πρὸς ταῖς τοῦ Θύμβριδος ἐκβολαῖς, αἳ τῆς Ῥώμης ἓξ καὶ δέκα διεστήκασι σημείοις. Τετάρτῳ τε καὶ εἰκοστῷ τῆς βασιλείας ἔτει νόσῳ διεφθάρη.

6. Διεδέξατο δὲ τὴν βασιλείαν Ταρκύνιος ὁ Πρίσκος ὀνομαζόμενος. Οὗτος τὸ μὲν τῆς συγκλήτου συνέδριον διπλάσιον ἐποίησε τῷ τῶν σωμάτων ἀριθμῷ, καὶ τῇ πόλει δὲ τὸν ἱππόδρομον ᾠκοδόμησε θεάτρων τε ἐνεστήσατο τέρψιν, Ῥωμάνην καλέσας τὴν θέαν, ἥτις ἐξ ἐκείνου καὶ εἰς τόδε τελεῖται, τὴν αὐτὴν ἔχουσα προσηγορίαν. Ἔτι δὲ Σαβίνους εἷλε μάχῃ, καί, πολλῆς αὐτοὺς ἀφελόμενος γῆς, προσεκύρωσε τῇ Ῥώμῃ. Πρῶτος δὲ θριαμβεύων εἰς τὴν Ῥώμην εἰσῆλθε. Τείχη τε ἐδείματο καὶ τὰς ὑδρορρόας ἤγουν ἀμάρας, καὶ τῆς τοῦ Καπιτωλίου κατασκευῆς ἤρξατο. Ὀκτώ τε ἐπὶ τοῖς τριάκοντα βασιλεύσας ἐνιαυτοὺς ὑπὸ τῶν Ἄγκου παίδων ἀνῃρέθη, παρ' οὗ τὴν βασιλείαν αὐτὸς ἀνεδέξατο.

7. Ἕκτος δὲ ὑποδέχεται τὴν ἀρχὴν Σερούιος Τούλλιος, ἐξ ἐπισήμου γεγονὼς μητρός, ἣ καὶ αἰχμαλωσίας καὶ δουλείας περιέπεσε τύχῃ.

4. *ἐφεξῆς* ΑΜΔ : *ἐφ' ἑξῆς* Ι   6. *ταύτας* ΙΔ : *ταῦτας* Μ : *ταῦτας ἐκ ταῦτα* Α   *Κέλλιον* Π. Γραπτέον *Καίλιον*   7. *τοῖς* Π : *δὲ τοῖς* Δ   10. Ἐν τῇ ὥρᾳ *δ* ΑΜ   *ἔκγονος* Π : *ἔκγονος* τοῦ *κ* γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ   11. *ἤρατο* ΜΙΔ : *ἤρατο* τοῦ *ἤ* γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ   12. *Ἀβάντινον* Π. Γραπτέον *Ἀβεντῖνον*   12-13. *καὶ πολίχνην* ΜΔ : *πολίχνην* ΑΙΣ   13. *θαλάσσῃ* ἔγραψα : *θαλάσσης* Π   14. *ἓξ καὶ δέκα* ΙΣΔ : *ἑξκαίδεκα* ΑΜ   18. *θεάτρων* Π : *θεάτρῶν* Μ   22. *δὲ* ΜΣΔ : *τε* ΑΙ   23. *ὑδρορρόας* ΙΣΔ : *ὑδρορρόας* ΑΜ   25-26. *ὑπὸ τῶν—ἀνεδέξατο* ΑΜΙ : *ἀνεδέξατο* Σ : *τοῦ βίου τὴν τελευτὴν ἐδέξατο παρ' Ἄγκου υἱῶν παρ' οὗ—ἀνεδέξατο* Δ
27. *δὲ* ΑΔ : λείπει ΜΙΣ   *Σερούιος* ΙΣΔ : *σερουΐλλιος* ΑΜ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Γ. Απη. Κατ. Π ΙΩΑΝΝΙΝΑ 2006

Οὗτος ὑπηγάγετο Σαβίνους καὶ τρισὶ λόφοις ηὔξησε τὴν πόλιν, τῷ Κυριναλίῳ καὶ τῷ Βιμιναλίῳ καὶ τῷ Ἐσκυλίνῳ, τάφρους τε ὤρυξε πρὸ τοῦ τείχους κύκλῳ καὶ ταῖς ἀπογραφαῖς τῶν σωμάτων ἔδωκεν ἀρχήν, οὔπω παρ' οὐδενὶ τῶν ἐθνῶν ἐγνωσμέναις. Ἀπογραφέντες οὖν οἱ τὴν Ῥώμην οἰκοῦντες ὑπ' αὐτῷ, συνήχθησαν εἰς ἀριθμὸν ὀγδοήκοντα τριῶν χιλιάδων μετὰ τῶν ἐν τοῖς ἀγροῖς οἰκούντων. Τελευτὴν μέντοι τοῦ βίου ἐδέξατο παρὰ τοῦ γαμβροῦ Ταρκυνίου Σουπέρβου· δηλοῖ δὲ τοῦτο [τὸ] ἐπώνυμον ὑπερήφανον. Παῖς δὲ ἦν οὗτος Ταρκυνίου τοῦ Πρίσκου, παρ' οὗ τὴν βασιλείαν ὁ σφαγεὶς οὗτος ἐδέξατο.

8. Ἐπιλαμβάνεται δὴ τῆς βασιλείας οὗτος ὁ Σούπερβος Ταρκύνιος, ἕβδομός τε ὢν τῶν βασιλέων καὶ ὕστατος, καὶ νικᾷ μὲν Βολούσκους, ἔθνος ὂν ἐπὶ τὴν Καμπανίαν, οὐ πόρρω τῆς Ῥώμης· αἱρεῖ δὲ ἐπὶ τούτοις Γαβίαν καὶ Σύεσσαν τὴν Πομητίαν πόλεις, ἔθετό τε μετὰ Τούσκων σπονδὰς ναόν τε ᾠκοδόμησεν ἐν τῷ καλουμένῳ Καπιτωλίῳ. Μετὰ ταῦτα πολιορκῶν τὴν Ἄρδεαν, πολίχνην δέκα καὶ ὀκτὼ σημείοις πόρρω τῆς Ῥώμης, τὴν ἀρχὴν ἀπέβαλεν. Ὁ γὰρ ὁμώνυμος αὐτοῦ παῖς ἐπιφανῆ γυναῖκα Λουκρητίαν, ἧς πολὺς ἦν ἐπὶ σωφροσύνῃ λόγος, Ταρκυνίῳ Κολλατίνῳ συνοικοῦσαν, ἐβιάσατο. Τοῦτο δὲ ἐξήγγειλεν ἡ Λουκρητία τῷ ἀνδρὶ καὶ τῷ πατρί, καὶ μηνύσασα τὸ πάθος, ἐν ὀφθαλμοῖς αὐτῶν ἑαυτὴν διεχρήσατο. Ἐνταῦθα δὲ Βροῦτος, γένει προσήκων τῷ Ταρκυνίῳ, τὸν δῆμον ἀθροίσας, ἀφαιρεῖται τῆς βασιλείας τὸν Ταρκύνιον, πλείω ποιησάμενος τοῦ κοινοῦ λόγον ἢ τοῦ γένους. Τούτῳ δὲ καὶ τοῦ δήμου τῷ δόγματι ἡ στρατιὰ συνηκολούθησε, μεθ' ἧς ἐπολιόρκει τὴν Ἄρδεαν. Τετάρτῳ τε καὶ εἰκοστῷ ἔτει τῆς βασιλείας μετὰ τῆς γαμετῆς καὶ τῶν παίδων φυγὴν ἑαυτοῦ κατεψηφίσατο. Οὕτως ὑπὸ βασιλεῦσιν ἑπτά, τοῖς ὅλοις ἔτεσι διακοσίοις τεσσαράκοντα καὶ τρισί, τὰ τῆς Ῥώμης διῳκήθη πράγματα. Μικρὰ δὲ ἦν ἔτι τὰ τῆς δυνάμεως

5. *συνήχθησαν* Π : *σηνήχθησαν* Λ 6. *οἰκούντων* Π : *οἰκούντων ἐκ τοῦ οἰκοῦντας* Μ 7. *ἐδέξατο* Π : *ἐδέξετο* Λ 8. *τὸ προσέθηκα* : λείπει Π 11. *ἕβδομός τε* ΑΜΔ : *ἕβδομος τὲ* ΙΣ *Βολούσκους* Π : *βουλούσκους* Μ

13. *Γαβίαν καὶ Σύεσσαν (σύε ${}^{\sigma}_{\Lambda}$αν Μ) τὴν Πομητίαν* ΜΔ : *γαβίαν καὶ πομητίαν καὶ σύεσσαν* ΑΙΣ *ἔθετό τε* Δ : *ἔθετο τὲ* Π 14. *ᾠκοδόμησεν ἐν τῷ* ΜΔ : *ᾠκοδόμησε τῷ* ΑΙΣ 15. *Ἄρδεαν* ΣΔ : *ἄρδεων* ΑΜΙ 16. *τὴν ἀρχὴν* ΣΔ : *[τὴν ἀρχὴν]* Σ : λείπουσι ΑΜΙ 18. *δὲ* ΑΜΔ : λείπει ΙΣ 19. *Λουκρητία* Π : *λουκρετία* Μ 23. *ἧς* Π : *ἧς* Μ 25. *Ἐν τῷ ͵φᾳ ἀπὸ κτίσεως ῥώμης ἕως τέλους τοῦ ζου τῶν βασιλέων καὶ ἀρχῆς (ἀρχῶν Μ) τῶν ὑπάτων ἔτη* ͞σμγ ΑΜΣ

αὐτῆς, τῶν ὁρίων αὐτῆς οὐδαμόθεν ὑπὲρ πεντεκαίδεκα σημεῖα ἐκτεινομένων.

9. Ἐντεῦθεν τὸ μὲν τῶν βασιλέων ἐπαύσατο, μετηνέχθη δὲ εἰς τὴν τῶν ὑπάτων ἀρχήν. Δύο δὲ ἦσαν οὗτοι καὶ ἐτήσιοι, ὥστε, κἂν ἕτερον *φαῦλον εἶναι, καταφεύγειν ἐπὶ τὸν ἕτερον, τῷ δὲ χρόνῳ περαιουμένην, ὥστε μετριωτέραν εἶναι τὴν δυναστείαν. Ἀνάγκη γὰρ ἦν ἀρίστους εἶναι δημαγωγούς, εἰδότας ὡς μετὰ τὸν χρόνον ἔσονται τῶν ἀρχομένων. Γίνονται τοίνυν ὕπατοι τῷ πρώτῳ ἔτει μετὰ τοὺς βασιλεῖς Λούκιος Ἰούνιος Βροῦτος ὁ τῆς Ταρκυνίου μάλιστα καθαιρέσεως αἰτιώτατος, καὶ Ταρκύνιος Κολλατῖνος ὁ τῆς Λουκρητίας ἀνήρ, ἧς ὑβρισθείσης ἐπράχθη τὰ περὶ Ταρκύνιον. Ἀλλ᾽ ὁ Κολλατῖνος εὐθὺς τῆς ἐξουσίας ἀφῃρέθη· ἔδοξε γὰρ μηδένα ἐπὶ τῆς Ῥώμης εἶναι Ταρκύνιον ὀνομαζόμενον, καὶ τῆς οὐσίας προσαφαιρεθεὶς ἀπώσθη τῆς πόλεως, ἀντικατέστη δὲ αὐτῷ Λούκιος Οὐαλέριος Πουβλικόλας.

10. Τούτων οὖν τὴν ὕπατον ἐχόντων ἀρχήν, ὁ τῆς βασιλείας ἀφαιρεθεὶς Ταρκύνιος ἐπηγάγετο τῇ Ῥώμῃ πόλεμον, καὶ συναγείρας ἔθνη πολλὰ δι᾽ ὅπλων ἔσπευδεν ἐπανελθεῖν εἰς τὴν βασιλείαν. Ὡς δὲ τὸ πρᾶγμα συνέμιξαν, ὁ μὲν Βροῦτος καὶ ὁ Ταρκυνίου παῖς ἀλλήλους ἀνεῖλον, οἱ δὲ λοιποὶ Ῥωμαῖοι ταύτῃ τῇ μάχῃ νικήσαντες ἀνεχώρησαν ἐπ᾽ οἴκου. Αἱ τοίνυν γυναῖκες ὡς τῆς σεμνότητος καὶ σωφροσύνης ὑπέρμαχόν τε καὶ προστάτην ἐνιαυσιαίῳ πένθει καθάπερ πατέρα κοινὸν ἐτίμησαν. Πουβλικόλας δὲ Σπούριον Λουκρήτιον Τρικιπιτῖνον κοινωνὸν ἑαυτῷ καὶ συνύπατον ἐχειροτόνησε τὸν πατέρα τῆς Λουκρητίας, τούτου δὲ ὑπεξελθόντος νόσῳ τὸν βίον, αὖθις Ὁράτιον Πούλβιλλον συνῆψεν ἑαυτῷ πρὸς τὴν ὕπατον ἀρχήν. Ὁ γὰρ δὴ λειπόμε-

1. *αὐτῆς τῶν* I : *οὐ τῆς τῶν* A : *αὐτῆς τῶν* M : *ὃν τῆς* Σ : *ὄντα τῆς* Δ *σημεῖα* IΔ : *σημείων* ΑΣ : *σημείοις* M 4. *κἂν* Π : *κὰν* M 6. *ὥστε* Π : λείπει Δ 9. Ἐν τῇ ᾤᾳ *βρούτος* A 14. Ἐν τῇ ᾤᾳ· *περὶ ποπλικόλα (πεπλικόλα* M*)* AM 15. *οὖν τὴν ὕπατον* Π : *τὴν ὑπάτων οὖν τὴν ὕπατον* M

19. *ταύτῃ* IM : λείπει ΑΣΔ 22. *ἐτίμησαν* Π : *ἐτίμωσαν* I Ἐν τῇ ᾤᾳ *οὗτος ἐστὶν (οὗτός ἐστιν* Σ*) ὁ ποπλικόλας (ἐκ τοῦ πεπλικόλας* M*) ὃν πλούταρχος σόλωνι παράλληλον τίθησι (τίθησιν* Σ*)* (διαγεγραμμένων μετὰ τὸ τίθησι τῶν καὶ πάλιν γραφεισῶν λέξεων *τῷ σόλωνι* A) ΑΜΣ 23-24. *Λουκρητίας* Π : *λουκρήτιας* ἤτοι τὸ μὲν πρῶτον *λουκρήτιας* εἶτα δὲ *λουκρητίας* A 24. *Ὁράτιον* IΣΔ : *ὁράτιον* AM 24-25. *πούλβιλλον* ΑΜΣ : *πούλβινον* I : *Πούλβιον* Δ 25. *ἑαυτῷ* Π : *αὐτῷ* M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΥ.ΔΗΜ.Κατ.Π ΙΩΑΝΝΙΝΑ 2006

νος ἀεὶ κύριος ἦν τῆς τοῦ κοινωνοῦ χειροτονίας. Οὕτω δὴ συνέβη τὸν πρῶτον τῶν ὑπάτων ἐνιαυτὸν πέντε σχεῖν ὑπάτους, Ταρκυνίου μὲν Κολλατίνου διὰ τὴν προσηγορίαν ἀπωσθέντος, Βρούτου δὲ πεσόντος ἐν τῇ μάχῃ, Λουκρητίου δὲ τὴν ἐκ τῆς ἀρρωστίας τελευτὴν ὑπομείναντος.

11. Τῷ δευτέρῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Ταρκύνιος αὖθις ἐκίνησεν ὅπλα κατὰ τῆς Ῥώμης ὑπὲρ τῆς βασιλείας, πρὸς συμμαχίαν ἐπικαλεσάμενος τὸν Πορσήναν· οὗτος δὲ ἦν Τούσκων βασιλεύς· καὶ μικροῦ μὲν τῆς Ῥώμης κατεκράτησεν, ἡττηθεὶς δὲ ὅμως ἀπῆλθε. Καὶ τρίτῳ μετὰ τοὺς βασιλέας ἐνιαυτῷ, ὡς εἶδεν αὐτῷ τὰ περὶ τῆς βασιλείας οὐ χωροῦντα κατὰ νοῦν· ἤδη γὰρ καὶ Πορσήνας σπονδὰς ἐπεποίητο πρὸς Ῥωμαίους· ἐν Τουσκώλῳ πολιχνίῳ τῆς Ῥώμης οὐ πόρρω, καταπλαγεὶς τὸν Μούκιον ἐπιβάλλοντα τῇ φλογὶ τὴν δεξιὰν εἰκόνα τε γενόμενον ἀνδρείας τε καὶ καρτερίας τῆς Ῥωμαίων, μεταστὰς σὺν τῇ γαμετῇ καὶ τοῖς φιλτάτοις τεσσαρεσκαίδεκα διετέλεσεν ἐνιαυτοὺς ἐκεῖ τε κατεγήρασε. Τετάρτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Σαβῖνοι Ῥωμαίοις ἐπήγαγον πόλεμον. Ἡττηθέντων δὲ αὐτῶν πανστρατί, οἱ Ῥωμαῖοι τὴν νίκην ἐθριάμβευσαν. Ἔτει πέμπτῳ Οὐαλέριος ὁ Βρούτου συνύπατος, τετάρτην ἤδη πεπληρωκὼς ὑπατείαν, τὸ κοινὸν ὑπέμεινε τέλος ἐν τοσαύτῃ πενίᾳ καὶ ἀπορίᾳ τῶν ἀναγκαίων, ὥστε ἐκ συνεισφορᾶς τοῦ δήμου τὴν ταφὴν αὐτοῦ γενέσθαι. Καὶ τοῦτον δὲ αἱ γυναῖκες ὥσπερ τὸν Βροῦτον κατὰ τὸν ἴσον χρόνον ἐπένθησαν.

12. Ἐνάτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει ὁ τοῦ βασιλεύοντος Ταρκυνίου Σουπέρβου γαμβρὸς τιμωρῆσαι τῷ κηδεστῇ βουληθείς, παμμεγέθη στρατιὰν συνέλεξε. Τότε τοίνυν προσεπενοήθη τε καὶ ᾑρέθη κατὰ τὴν Ῥώμην ἀρχή· δικτατοῦραν αὐτὴν ἐκάλουν ἐπιχωρίως, σημαίνει δὲ ἀναγόρευσιν ἡ φωνὴ ἢ διὰ τὸ λέγειν μὲν τὸν δῆμον, οὐ ψηφηφορεῖν δὲ ὡς ἐπὶ τῶν ὑπάτων, τῷ ῥήματι δὲ ἀκολουθεῖν τὴν

1. *χειροτονίας* Σ : *χειροτονείας* Π  3. *ἀπωσθέντος* ἔγραψα (Πρβλ. σ. 13, 13) : *ἀπεωσθέντος* Π  8. *Πορσήναν* ΣΔ : *πορσίνναν* ΑΜΙ  10-11. *ἐνιαυτῷ—βασιλείας* ἐν τῷ κειμένῳ Π : πρόσθετα ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ⁒. Α  11. *χωροῦντα* Π : *χωροῦντα* ἐκ τοῦ *χοροῦντα* Μ  *Πορσήνας* ΣΔ : *πορσίνας* ΑΜ : *πορσίννας* Ι  12. *Τουσκώλῳ* ΑΜΙ : *Τουσκόλῳ* ΣΔ  13. *Μούκιον* ΙΣΔ : *Λούκιον* ΑΜ  14. *ἀνδρείας* Π : *ἀνδρίας* Δ  15. *τεσσαρεσκαίδεκα* Π : *τεσσαρασκαίδεκα* Δ  18. *ἔτει* Π : *ἔτει δὲ* Δ  22. *ἴσον* ΜΣΔ : *ἴσον* Α : *ἴσον* Ι  *ἐπένθησαν* Π : *ἐπέθησαν* Μ  24. *ἐνάτῳ* Ι : *ἐννάτῳ* Π  *δὲ* ΜΔ : λείπει ΑΙΣ  27. *δικτατοῦραν* ἔγραψα : *δικτατούραν* Π  29. *ψηφηφορεῖν* ΜΣ : *ψηφοφορεῖν* ΑΙΔ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΚΔΟΣΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

ἐξουσίαν. Αὕτη δὲ δυνατωτέρα μὲν τῆς μεγίστης ὑπατείας ἦν, ἓξ μησὶ δὲ παρετείνετο μόνοις. Τοσοῦτον γὰρ ἔδοξεν αὐτὴν συστεῖλαι κατὰ τὸν χρόνον ὅσον ὑπερέβαινε τῷ μεγέθει. Κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον καὶ ἄρχων ἱππέων ἀνεδείχθη· ἀκολουθεῖ δὲ καὶ αὐτὸς τῷ δικτάτωρι καθάπερ τις ἀξιόχρεως ὑπουργός. Συνελόντι δὲ εἰπεῖν οὐδεμία τῶν ἐπὶ τῆς Ῥώμης ἀρχῶν ὡς ἡ δικτατοῦρα τῇ νῦν βασιλείᾳ προσέοικει. Μετὰ ταύτης γοῦν, μᾶλλον δὲ ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ καὶ Αὔγουστος Ὀκταβιανός, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν, καὶ πρὸ ἐκείνου Γάϊος Καῖσαρ κατὰ μικρὸν τὴν μὲν πολιτείαν καταλύοντες, ἁρπάζοντες δὲ τὴν βασιλείαν διέλαθον. Πρῶτος οὖν ἐγένετο δικτάτωρ Λάρκιος, μάγιστρος δὲ τῶν ἱππέων πρῶτος Σπούριος Κάσιος.

13. Ἕκτῳ δὲ καὶ δεκάτῳ μετὰ τοὺς βασιλέας ἐνιαυτῷ στάσις ἐπέπεσε τῷ δήμῳ τῶν Ῥωμαίων ἀγανακτοῦντι καὶ δεινὰ πάσχοντι ὑπό τε τῆς συγκλήτου καὶ τῶν ὑπάτων. Καὶ οὐ πρότερον ἐπέσχεν οὗτος ὁ θόρυβος, πρὶν καὶ αὐτὸς αὑτῷ κατέστησεν ἄρχοντας οἰκείους καὶ οἱονεί τινας ἐκδίκους τοῦ πλήθους, οὓς δημάρχους ἐκάλεσε, τριβούνους πλήβις κατὰ τὴν αὐτῶν φωνήν. Ἐπίστευε δὲ ὁ δῆμος διὰ τούτων ἀσφάλειαν αὐτῷ πρὸς τὴν τῆς συγκλήτου καὶ τῶν ἀρχόντων ἐξουσίαν ὑπάρξειν.

14. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Βολοῦσκοι τὸν πόλεμον ἀνενεώσαντο, καὶ συμμίξαντες ἡττήθησαν καὶ τὴν μεγίστην ἑαυτῶν πόλιν Κουριόλους ἀπώλεσαν, τῶν νικησάντων γενομένην.

15. Ὀκτωκαιδεκάτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Κύντος Μάρκιος, ὁ τοῦ πολέμου τοῦ κατὰ Βολούσκων στρατηγὸς ὁ καὶ τὴν πόλιν

2. *μόνοις* ἔγραψα : *μόνος* M : *μόν* Δ : *μόνον* ΙΣΔ  4. *αὐτὴν* Δ : *αὐτὴ* Π  5. *δικτάτωρι* ΣΔ : *δικτάτορι* ΑΜΙ  *τις* Π : λείπει M  6. *δικτατοῦρα* ἔγραψα  *δικτατούρα* Π  13. Ἐν τῇ φᾳ' *ἀπὸ κτίσεως ῥώμης (Ῥώμης Σ) ἕως τῆς τῶν δημάρχων καταστάσεως ἔτη* $\overline{\text{ιϛ}}$ *ἐγγύς* ΑΜΣ  14. *πάσχοντι* ἔγραψα. Πρβλ. τὸ τοῦ Εὐτροπίου tanquam . . . premeretur : *πάσχειν* Π  15. *ὑπάτων* Π : *ὑπάτων αἰτιωμένῳ* Δ  *ἐπέσχεν* ΣΔ : *ἀπέσχεν* ΑΜΙ  16. *αὑτῷ* ΣΔ : *αὐτῷ* ΑΜΙ  17. *οἱονεί τινας* ἔγραψα : *οἱονεὶ τινὰς* Π  18. *πλήβις* Π : *πλῆβι*; Α. *ἐπίστευε* ΑΜΣ : *ἐπίστευσε* ΙΔ  21. *Βολοῦσκοι* Δ : *βολοῦσκοι* Ι : *βουλοῦσκοι* ΑΜΣ  24. Ἐν τῇ φᾳ' *οἱ δήμαρχοι τῷ* $\overline{\beta}$ *ἔτει τῆς ἑαυτῶν ἐξουσίας ἐπαρθέντες κατὰ τῶν ὑπάτων, ἐξόριστον τῆς ῥώμης ἐποίησαν γά'ον μάρκιον ὃν πλούταρχος παράλληλον τίθησιν (τίθησί M) ἀλκιβιάδη τῷ ἀθηναίῳ* ΑΜΣ
25. *Βολούσκων* ΙΔ : *βουλούσκων* ΑΜΣ

αὐτῶν ἑλὼν τοὺς Κουριόλους, ἀπολιπὼν τὴν Ῥώμην, προσεχώρησε τοῖς Βολούσκοις, ὑπό τινος ὀργῆς τοῦτο παθών, καὶ πολὺ συνήγαγε συμμαχικόν, καὶ πολλάκις ἐνίκησε πολέμῳ τοὺς οἰκείους. Καὶ πλησίον αὐτῆς ἐγένετο τῆς πόλεως ἀπὸ πέντε σημείων, ὡς αὐτίκα πολιορκήσων· πρεσβευσαμένων δὲ τῶν Ῥωμαίων, οὐ πρότερον ἔφη τῆς ὀργῆς λήξειν ἢ τὴν αὐτοῦ μητέρα Βετουρίαν καὶ τὴν γαμετὴν Βουλουμνίαν πρὸς αὐτὸν ἐλθεῖν. Γίνεται δὴ τοῦτο, καὶ τοῖς ὀδυρμοῖς τῶν γυναικῶν ἐπικλασθεὶς ἀπεκίνησε τὸν στρατόν. Καὶ δεύτερος οὗτος μετὰ τὸν βασιλέα Ταρκύνιον ὅπλα κατὰ τῆς πατρίδος ἐκίνησεν.

16. Φαβίου δὲ καὶ Βεργινίου τὴν ὑπατείαν ἐχόντων, τριακόσιοι τῆς Ῥώμης ἄνδρες ἐπιφανεῖς, ἐκ τῆς Φαβίου καταγόμενοι συγγενείας, αὐτοὶ καθ' ἑαυτοὺς κατὰ τῶν Βεεγέντων ἐξεστράτευσαν, ὑποσχόμενοι καὶ τῷ δήμῳ καὶ τῇ συγκλήτῳ τὸν πάντα κατορθώσειν πόλεμον. Οὗτοι δὲ πάντες, ἀξιόχρεως ἕκαστος μεγάλης ἡγεμὼν εἶναι στρατιᾶς, πανωλεθρίᾳ διεφθάρησαν. Ἐκ τοσούτου δὲ τοῦ Φαβίου γένους εἷς ὑπελείφθη μόνος, ὃς οὐχ οἷός τε ἐγένετο διὰ τὴν νεότητα παραγενέσθαι τῇ μάχῃ. Μετὰ ταῦτα γίνεται τῶν σωμάτων πάλιν ἀπογραφὴ κατὰ τὴν πόλιν, καὶ συνηριθμήθη πλῆθος ἀνδρῶν ἑκατὸν δέκα καὶ ἑπτὰ χιλιάδες καὶ τριακόσιοι καὶ δέκα καὶ ἐννέα.

17. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ κατὰ τὸ Ἄλγιδον ὄρος, δωδεκάτῳ τῆς πόλεως σημείῳ, ἐνεδρευθεὶς ὁ ῥωμαϊκὸς στρατὸς συνεκλείσθη. Χειροτονεῖται τοίνυν δικτάτωρ Λούκιος Κόντιος Κιγκιννάτος· ἐν γὰρ ταῖς μεγίσταις ἀνάγκαις ἐπὶ ταύτην ἐφέροντο τὴν ἀρχήν. Ἀγρὸν δὲ ἔχων ὁ Κιγκιννάτος καὶ τοῦτον αὐτῷ σώματι γεωργῶν, ἐφεστηκώς τε ἀρότρῳ, παρέλαβε τὴν ἐξουσίαν, καὶ τὸν ἱδρῶτα τὸν ἀπὸ τῆς γηπονίας μεταβαλὼν ἐνέδυ τὸ σχῆμα τραβέαν· τόγαν αὐτὴν ὀνομάζουσιν· ἐκ τῆς ὁπλίσεως τῆς Ῥωμύλου μετενεχθεῖσαν εἰς φᾶρος· καὶ τοὺς πολεμίους ἀπολέσας ἠλευθέρωσε τὴν στρατιάν.

18. Τριακοστῷ δὲ καὶ ἑνὶ μετὰ τὸν τῆς Ῥώμης συνοικισμὸν ἐνι-

2. *Βολούσκοις* Δ : *βουλούσκοις* Π 5. *ἔφη* Π : *ἔμελλε* Α 6. *Βετουρίαν* ΣΔ : *βετουλίαν* ΑΜΙ 9. *ἐκίνησεν* : *ἐκίνησε προστεθέντος ἐν τέλει τοῦ ν ὑπὸ τοῦ ἐρυθρογράφου* Α 14. *ἀξιόχρεως* ΣΔ : *ἀξιοχρέως* ΑΜΙ 17. *γίνεται* Π : *δὲ γίγνεται* Δ 19. *ἐννέα* Π : *ἐννέα ἐκ τοῦ ἐνέα* Α 20. *ἑξῆς* Π : *ἐξῆς* Μ *Ἄλγιδον* ΣΔ : *ἄλκιδον* ΙΑ : *ἄλβιδον* Μ 21. *πόλεως* Π : *πόλεως πόλεως τῆς δευτέρας λέξεως εἶτα διαγραφείσης* Μ 22. *κιγκιννάτος* Π : *κιγκινάτος* Μ 25. *καὶ τὸν* Π : *καὶ τῶν* Δ 27. *ῥωμύλου* Δ : *ῥωμύλλου* Π *φᾶρος ἔγραψα* : *φάρος* ΣΔ : *φάρας* ΑΜΙ 29. *Ἐν τῷ φφ' ἀπὸ κτίσεως ῥώμης* (Ῥώμης Σ) *ἕως τῆς τῶν δέκα ἀρχῆς ὑπατικῶν ἀνδρῶν ἔτη* $\overline{\text{πα}}$ *ὀλυμπιὰς* $\overline{\text{πδ}}$ ΑΜΣ. Αἱ λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ Κ. Θ. ΠΕΤΣΙΟΣ ΕΡΓ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αυτῷ τὸ τῶν ὑπάτων μετεβάλετο εἰς ἑτέραν ἀρχήν. Ἀντὶ γὰρ τῶν ὑπάτων δέκα κατέστησαν, οἷς [ἡ] πᾶσα τῆς πόλεως ἐπετράπη διοίκησις. Ἐκαλοῦντο δὲ οὗτοι δεκάνδρικοί. Ὀρθῶς δὲ διαγενόμενοι κατὰ τὸ πρῶτον ἔτος εἶτα μετεβλήθησαν. Ἄππιος γὰρ Κλαύδιος, εἷς ἐκ τῶν δέκα, Βεργινίου τινὸς θυγατέρα παρθένον, ὃς ἐν τῷ πολέμῳ κατὰ τὸ Ἄλγιδον ὄρος πρὸς Λατίνους ἐτύγχανεν ἀνδρειότατα μεμαχημένος, ἠβουλήθη διαφθεῖραι πρὸς βίαν· ἀλλ᾽ ὁ πατὴρ αὐτὴν πρὸ τῆς ὕβρεως ἀνεῖλε. Τοῦτο συνεκίνησε τὸν στρατόν, καὶ τοὺς δέκα τιμωρίᾳ παραδόντες καὶ αὐτὴν αὐτοῖς συνανεῖλον τὴν ἀρχήν.

19. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Φιδηνᾶται πρὸς τὴν Ῥώμην ἤραντο πόλεμον, συμμάχοις κεχρημένοι Βεείοις καὶ τῷ τούτων βασιλεῖ Τολουμνίῳ. Βέειοι δὲ καὶ Φιδηνᾶται, καθάπερ ἐν τοῖς πρόσθεν εἴρηται, τῆς Ῥώμης ἐκ γειτόνων οἰκοῦσι, Φιδηνᾶται μὲν ἓξ κεχωρισμένοι σημείοις, Βέειοι δὲ ὀκτωκαίδεκα. Συνεπῆλθον δὲ καὶ Βολοῦσκοι. Τότε τοίνυν Μάμερκος Αἰμίλιος, δικτάτωρ χειροτονηθεὶς καὶ λαβὼν ἄρχοντα τῶν ἱππέων Λούκιον Κυίντιον Κιγκιννάτον, τόν τε πόλεμον ἔλυσε καὶ τὸν βασιλέα Τολούμνιον ἀνεῖλε, Φιδῆναί τε ἡ πόλις ἑάλω καὶ κατεσκάφη.

20. Εἴκοσι δὲ ὕστερον ταύτης τῆς μάχης ἐνιαυτοῖς Βέειοι πάλιν ἐκίνησαν τὸν πόλεμον· καὶ χειροτονεῖται κατ᾽ αὐτῶν δικτάτωρ Φούριος Κάμιλλος, ὃς πρότερον μὲν αὐτοὺς κατεπολέμησε, μετὰ ταῦτα δὲ τὴν πόλιν περικαθίσας καὶ αὐτὴν εἷλεν, ἀρχαιοτάτην τε τῆς Ἰταλίας καὶ τοῖς πᾶσιν ἀφθονωτάτην. Μετὰ ταύτην αἱρεῖ Φαλίσκους, πόλιν οὐχ ἧττω τῆς προτέρας· ἀλλ᾽ ἐπανέστη φθόνος ἐκ ταύτης αὐτῷ τῆς εὐημερίας. Αἰτίαν δ᾽ ἔσχεν ὡς οὐ προσηκόντως διέλοι τῇ στρα-

ξεις ὀλυμπιάς $\overline{πδ}$ ἐν τῷ Λ κεχωρισμέναι τῶν λοιπῶν. Ἕπονται δὲ ἐν τῇ ᾤᾳ τοῦ αὐτοῦ κώδικος, ἐπ᾽ ἴσης χωριστά, καὶ αἱ λέξεις + *περὶ τῆς νεάνιδος* λείπουσαι ἀπὸ τῶν λοιπῶν 1. *μετεβάλετο* Π : *μετεβάλλετο* Λ 2. ἡ προςέθηκα : λείπει Π 6. *Ἄλγιδον* ΣΔ : *ἄλκιδον* Ι : *ἄλκιμον* ΑΜ 10. (καὶ 12). φιδηνᾶται ἔγραψα : *φιδηνάται* Π ἤραντο ΑΜΙ : ἦραντο ΣΔ 11-12. *Βεείοις—Τολουμνίῳ* (*τουλουμνίῳ* ΜΣ) ἐν τῷ κειμένῳ Π : *Βεείοις—τουλουμνίω* ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. Λ 15. *Αἰμίλιος* ΣΔ : *αἱμίλιος* ΑΙΜ Ἐν τῇ ᾤᾳ *οὗτος ἐστὶν ὁ κάμιλλος ὃν παράλληλον τίθησι πλούταρχος θεμιστοκλεῖ* (*θεμιστοκλῆ* Μ) *τῷ ἀθηναίῳ* ΑΜΣ 16. *Κυίντιον* ΑΜΣ : *Κίντιον* ΙΔ *Κιγκιννάτον* ἔγραψα : *Κικιννάτον* Π 17. *Φιδῆναί τε* ἔγραψα : *φιδῆναι τὲ* Π 22-23. *εἷλεν—μετὰ ταύτην* ἐν τῷ κειμένῳ Π : ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. Μ 23. *ταύτην* Π : *ταύτην δὲ* Δ 24. *ἧττω* ΣΔ : *ἧττω* ἐκ τοῦ *ἧττον* ἄλλῳ μέλανι Λ : *ἥττων* Μ : *ἧττον* Ι 25. *ἔσχεν* ΣΔ : *ἔσχον* ΑΜΙ

τιᾷ τὰ τοῦ πολέμου λάφυρα, κατεκρίθη τε καὶ ἀπεώσθη τῆς Ῥώμης. Κατὰ δὲ τοῦτον τὸν χρόνον Γάλλοι Σένωνες ὥρμησαν ἐπὶ τὴν Ῥώμην, καὶ γενομένης μάχης ἐνδεκάτῳ τῆς πόλεως σημείῳ παρὰ τὸν Ἄλλιον ποταμόν, ἐπεξῆλθον φεύγουσι τοῖς Ῥωμαίοις, οὐδενὸς ἀντάραντος, μέχρι τῆς πόλεως αὐτῆς. Καταφεύγοντες δὲ εἰς τὸ Καπιτώλιον, ἐκεῖ συνέσωζον ἑαυτούς. Λιμοῦ δὲ λοιπὸν συνέχοντος αὐτούς, ἐφίσταται κάμνουσιν ὁ Φούριος Κάμιλλος, ἐκτὸς τῆς πόλεως ἐκ τῆς τῆς εἰρημένης κρίσεως διάγων. Καὶ νικᾷ μὲν αὐτοὺς τῇ πρώτῃ συμπλοκῇ· ὡς δὲ οὐκ ἐξεχώρουν τοῦ ἄστεως, ὠνήσαντο Ῥωμαῖοι τὴν ἀναχώρησιν αὐτοῦ χρυσίῳ. Τοῦτο οὐκ ἤνεγκε μετρίως ὁ Κάμιλλος· παραχρῆμα δὲ ἐπεξελθὼν τῇ τῶν Γάλλων στρατιᾷ, αὐτήν τε διέφθειρε καὶ τὸ δοθὲν ἀνέλαβε χρυσίον, καὶ τὰ σημεῖα τὰ στρατιωτικά, ἅπερ ἦσαν ἐν τῇ προτέρᾳ μάχῃ παρὰ τῶν Ῥωμαίων ἀφῃρημένοι· σίγνα καλοῦσιν αὐτὰ Ῥωμαῖοι· πάντα ἀναλαβών, τρίτον ἐν τῇ πατρίδι θρίαμβον ἐθριάμβευσεν, ἐπεκλήθη τε δεύτερος Ῥωμύλος, ὡς οἰκιστὴς καὶ αὐτὸς τῆς Ῥώμης γεγενημένος.

## ΒΙΒΛΙΟΝ Β΄

1. Ἔτει τριακοστῷ καὶ ἑξηκοστῷ πέμπτῳ μετὰ τὸν τῆς Ῥώμης συνοικισμόν, πρώτῳ δὲ μετὰ τὴν ὑπὸ Γάλλοις γενομένην ἅλωσιν ἐνηλλάγησαν αἱ δυναστεῖαι. Ἀντὶ γὰρ τῶν ὑπάτων ἄρχοντες ἐγένοντο στρατιωτικοί, τὴν τῶν ὑπάτων ἔχοντες δύναμιν. Ἐντεῦθεν καὶ τὰ τῆς Ῥώμης ηὐξήθη πράγματα. Κάμιλλος γὰρ Βολούσκων πόλιν, ἑβδομήκοντα τοῖς πᾶσιν ἐνιαυτοῖς οὐκ ἀποσχομένην τοῦ κατὰ τῆς Ῥώμης πολέμου, αὐτήν τε εἷλε τὴν Βολούσκων ὡς καὶ πόλιν ἑτέραν

3. *ἐνδεκάτῳ* Μ : *ἐνδεκάτῳ* Π 4-5. *ἀντάραντος* ΙΔ : *ἀντάραντος* Σ : *ἀντάρατος* ΛΜ 5-6. *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 11,23 καὶ 12,14 7. *Φούριος* ΣΔ : *φρούριος* ΑΜΙ 10. *χρυσίῳ* Π : *χρησίῳ* Μ *τοῦτο οὐκ* Π : *τοῦτο δὲ ἐκ* Δ *ἤνεγκε* Π : *ἤνεγκε* Μ 13. *Ῥωμαίων* Π : *ῥωμαίων* ἐπὶ προτέρων διαγεγραμμένου Μ 14. *σίγνα* Δ : *σίγνα δὲ* Δ 15. *Ῥωμύλος* ΣΔ : *ῥωμῦλος* ΑΜΙ

*σιο*

1. *τριακοσιοστῷ* Π : *τριακοστῷ* τῆς διορθώσεως γενομένης δευτέρᾳ χειρὶ Λ 3. *δυναστεῖαι* Π : *δυναστείαι* Λ 3-4. *ἄρχοντες—ὑπάτων* ἐν τῷ κειμένῳ Π : πρόσθετα ἐν τῇ ῴᾳ ἄλλῃ χειρὶ Ι 7. *αὐτήν τε* Π : *αὐτὴν δὲ* Σ *τὴν βολούσκων ὡς (ὃ ΜΣ) καὶ πόλιν ἑτέραν ἰτρούσκων* ΑΜΙ : *καὶ ἑτέραν Αἰκανῶν* Δ

Εργ. Αττ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006